# *Αντιγόνη*

## Πρόλογος, 1ο στάσιμο, 3ο στάσιμο

### Πρόλογος

ΑΝΤΙΓΟΝΗ

ὦ κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα,
ἆρ᾽ οσθ᾽ ὅ,τι Ζεὺς τῶν ἀπ᾽ Οἰδίπου κακῶν
ὁποῖον οὐχὶ νῷν ἔτι ζώσαιν τελεῖ;
οὐδ ν γὰρ οὔτ᾽ ἀλγεινὸν οὔτ᾽ ἄτης ἄτερ
οὔτ᾽ αἰσχρὸν οὔτ᾽ ἄτιμόν ἐσθ᾽ ὁποῖον οὐ
τῶν σῶν τε κἀμῶν οὐκ ὄπωπ᾽ ἐγὼ κακῶν.
καὶ νῦν τί τοῦτ᾽ αὖ φασι πανδήμῳ πόλει
κήρυγμα θεῖναι τὸν στρατηγὸν ἀρτίως;
ἔχεις τι κεἰσήκουσας; ἤ σε λανθάνει
πρὸς τοὺς φίλους στείχοντα τῶν ἐχθρῶν κακά;

# 1ο στάσιμο

ΧΟΡΟΣ

στροφή α′

Πολλὰ τὰ δεινὰ κοὐδέν ἀν- θρώπου δεινότερον πέλει·
τοῦτο καὶ πολιοῦ πέραν - πόντου χειμερίῳ νότῳ
χωρεῖ, περιβρυχίοισιν
περῶν ὑπ᾽ οἴδμασιν·
θεῶν τε τὰν ὑπερτάταν, Γᾶν
ἄφθιτον, ἀκαμάταν ἀποτρύεται,
ἰλλομένων ἀρότρων ἔτος εἰς ἔτος,
ἱππείῳ γένει πολεύων.

αντιστροφή α′

Κουφονόων τε φῦλον ὀρ- νίθων ἀμφιβαλὼν ἄγει,
καὶ θηρῶν ἀγρίων ἔθνη - πόντου τ᾽ εἰναλίαν φύσιν
σπείραισι δικτυοκλώστοις,
περιφραδὴς ἀνήρ·
κρατεῖ  δ μηχαναῖς ἀγραύλου
θηρὸς ὀρεσσιβάτα, λασιαύχενά θ᾽
ἵππον ὀχμάζεται ἀμφί λόφον ζυγῶν
οὔρειόν τ᾽ ἀκμῆτα ταῦρον.

στροφή β′

Καὶ φθέγμα καὶ ἀνεμόεν
φρόνημα καὶ ἀστυνόμους - ὀργὰς ἐδιδάξατο, καὶ δυσαύλων
πάγων ἐναίθρεια καὶ - δύσομβρα φεύγειν βέλη,
παντοπόρος· ἄπορος ἐπ᾽ οὐδέν ἔρχεται
τὸ μέλλον· Ἅιδα μόνον - φεῦξιν οὐκ ἐπάξεται·
νόσων δ᾽ ἀμηχάνων φυγὰς - ξυμπέφρασται.

αντιστροφή β′

Σοφόν τι τὸ μηχανόεν
τέχνας ὑπέρ ἐλπίδ᾽ ἔχων - τοτ μ ν κακόν, ἄλλοτ᾽ ἐπ᾽ ἐσθλὸν ἕρπει·
νόμους γεραίρων χθονὸς - θεῶν τ᾽ ἔνορκον δίκαν,
ὑψίπολις· ἄπολις ὅτῳ τὸ μὴ καλὸν
ξύνεστι τόλμας χάριν. - μήτ᾽ ἐμοὶ παρέστιος
γένοιτο μήτ᾽ ἴσον φρονῶν, - ὃς τάδ᾽ ἔρδοι.

# 3ο στάσιμο

ΧΟΡΟΣ

## Στροφή

Ἔρως ἀνίκατε μάχαν,
Ἔρως, ὃς ἐν κτήμασι πίπτεις,
ὃς ἐν μαλακαῖς παρειαῖς
νεάνιδος ἐννυχεύεις,
φοιτᾷς δ' ὑπερπόντιος ἔν τ'
ἀγρονόμοις αὐλαῖς·
καί σ' οὔτ' ἀθανάτων φύξιμος οὐδεὶς
οὔθ' ἁμερίων σέ γ' ἀν-
θρώπων, ὁ δ' ἔχων μέμηνεν.

## Αντιστροφή

Σὺ καὶ δικαίων ἀδίκους
φρένας παρασπᾷς ἐπὶ λώβᾳ·
σὺ καὶ τόδε νεῖκος ἀνδρῶν
ξύναιμον ἔχεις ταράξας·
νικᾷ δ' ἐναργὴς βλεφάρων
ἵμερος εὐλέκτρου
νύμφας, τῶν μεγάλων +πάρεδρος ἐν ἀρχαῖς+
θεσμῶν· ἄμαχος γὰρ ἐμ-
παίζει θεὸς Ἀφροδίτα.